# ῾ΥΠΟΘΕΣΙΣ.

## I.

῾Υπόκειται ὧδε· τροφεὺς δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει[1]). μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι σὺν τῷ πατρί.

## II.

Τροφεύς ἐστιν ὁ προλογίζων, πρεσβύτης παιδαγωγός, ὁ ὑπεκθέμενος τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς Στρόφιον, καὶ ὑποδεικνὺς αὐτῷ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν κλέψας ἐκ τοῦ Ἄργους ὁ παιδαγωγὸς ἔφυγε, καὶ διὰ εἴκοσιν[2]) ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ' αὐτοῦ δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει[3]). ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

## III.

Ἀπορία. διὰ τί οὐκ ἐπιγέγραπται Σοφοκλέους θάνατος Αἰγίσθου καὶ Κλυταιμνήστρας, ἀλλ' Ἠλέκτρα, καίτοι μή τι παθούσης αὐτῆς;

Λύσις. ἀπὸ τοῦ πολυπαθεστέρου[4]) καὶ ἐπιμονεστέρου[5]) τὴν ἐπιγραφὴν ἐποίησε. παρεισάγει γὰρ αὐτὴν ἐν τούτῳ τῷ δράματι θρηνοῦσαν ἀεὶ καὶ στενάζουσαν καὶ λυπουμένην καὶ ἐπιμένουσαν καὶ οὐχ ὥσπερ τὰ ἕτερα πρόσωπα ἀπερχομένην.

1) I und II waren wohl ursprünglich Scholien zu *Παιδαγωγός*, der ersten Personenbezeichnung im Stücke, während eine eigentliche Hypothesis d. i. eine kurze Inhaltsangabe des Stückes, wie sie den meisten andern Tragödien in unsern Handschriften vorangeschickt ist, hier fehlt.

2) Diese Zeitbestimmung ist nicht im Einklang mit den sonstigen Angaben. Zu S. V. 14.

3) Vgl. jedoch, was S. 2 über den Schauplatz der Handlung bemerkt wird.

4) *πολυπαθής* affektvoll, leidenschaftlich erregt, was bei weitem am meisten auf Elektra zutrifft; also kein Widerspruch zu *μή τι παθούσης*: es stöſst ihr nichts zu d. h. die Tragödie hat nicht ihren Tod zum Gegenstande.

5) Sie bleibt am längsten auf der Bühne.



SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG